## XV

ἠχήεσσα θάλασσα, τί τὸν Τιμάρεος οὕτως
πλώοντ' οὐ πολλῇ νηὶ Τελευταγόρην
ἄγρια χειμήνασα καταπρηνώσαο πόντῳ
σὺν φόρτῳ, λάβρον κῦμ' ἐπιχευαμένη;
χὠ μέν που καύηξιν ἢ ἰχθυβόροις λαρίδεσσι
τεθρήνητ' ἄπνους εὑρεῖ ἐν αἰγιαλῷ,
Τιμάρης δὲ κενὸν τέκνου κεκλαυμένον ἀθρῶν
τύμβον δακρύει παῖδα Τελευταγόρην.

## XVI

αἰεὶ λῃσταὶ καὶ ἁλιφθόροι οὐδὲ δίκαιοι
Κρῆτες. τίς Κρήτων οἶδε δικαιοσύνην;
ὡς καὶ ἐμὲ πλώοντα σὺν οὐκ εὐπίονι φόρτῳ
Κρηταιεῖς ὦσαν Τιμόλυτον καθ' ἁλός
δείλαιον. κἠγὼ μὲν ἁλιζώοις λαρίδεσσι
κέκλαυμαι, τύμβῳ δ' οὐχ ὕπο Τιμόλυτος.

## XVII

ἀρκεῖ μοι γαίης μικρὴ κόνις, ἡ δὲ περισσή
ἄλλον ἐπιθλίβοι πλούσια κεκλιμένον
στήλη, τὸ σκληρὸν νεκρῶν βάρος. εἴ με θανόντα
γνώσοντ', Ἀλκάνδρῳ τοῦτο τί Καλλιτέλευς;

## XVIII

τὴν ὀλίγην βῶλον καὶ τοῦτ' ὀλιγήριον, ὦνερ,
σῆμα ποτίφθεγξαι τλάμονος Ἀλκιμένευς,